Quantumuis longè mittas, nunquam deos attingas, qui propter vos longè secesserunt.

Σχόλια. Γλίσχρων.] ἐπιθυμητικῶς ἀπὸ τοῦ γλίχεσθαι. γλίσχρονας δὲ τοὺς ἀτυχεῖς εἰώθασι λέγειν, καὶ γλισχρείαν τὴν ἀτυχίαν, καὶ γλίσχρως ὀλισθηρῶς. νῦν δὲ ἐπίπονε. Ως οὐκ ἔτ᾽ εἶναι (οἱ δοκῶ.] ὅτι φιλοτίμως εἰς τὸν οὐρανὸν ἀνέβην. Ἰὴ ἰὴ ἰὴ] τὸ μῆκος σημαίνων τοῦ φησι. πρόσφθεγμα δὲ ἐστι καταφρονοῦντος. Οτ᾽ οὐδὲ μέλλεις] μετῴκησαν γὰρ δι᾽ ὑμᾶς. Ιδοὺ γῆς.] χλευάζων φησὶν ὡς ἐν οὐρανῷ αὐτῶν οἰκούντων.

BISETVS. Τοῦτο δὲ τοῦ ἐπιρρήματος, τοῦ ἰδοὺ λέγω, χαρίεντα χρῆσίς ἐστιν, ὅταν τι ἀπρεπῶς, ἢ ἀτόπως εἰρημένον ἐλέγχομεν, ὡς καὶ ἐνταῦθα. ἀπρεπὲς γάρ ἐστι περὶ τῶν θεῶν οὕτω φρονεῖν, ἢ λέγειν, ὥστε νομίζειν αὐτοὺς ἐν τῇ γῇ κατοικοῦντας.

B Σχόλια. Κύτταρον] κυττάρους καλοῦσι τὰς τῶν σφηκίων κατατρήσεις, μεταφορικῶς δὲ τὸ κοιλαίτατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέρη τοῦ οὐρανοῦ.

CHRIST. Κύτταρον] κύτταρος propriè est nucamentum. Plin. panniculam vocat. Sed hic pro cæli penetralibus accipitur translatiuè, vt &

A in Thesmophor. Et rectè. Cùm enim κύτταροι sint σφηκῶν καὶ κυείων κατατρήσεις & βαλάνων πυελίδες vel πώματα (malè apud Sudam στόματα) id est opercula, eleganter cæli alteram partem & intimam vocat κύτταρον. Miror autem quòd Hesychius (cuius glossas neque integras habemus, neque semper fide dignas) ait κυττάρους, non solum esse ἀγγεῖα τῶν βαλάνων, sed etiam τῶν αἰδοίων τὰς βαλάνους.

Σχόλια. Χυτρείδια] καὶ ταῦτα γελοίου χάριν καὶ ἐπιδακρύρων ταῦτά φησιν. ἀμφορεῖς δὲ ἐστι, τὰ μέτρα. Ιν᾽ ἦσαν αὐτοί.] ὅπου ᾤκουν πρότερον καὶ διέτριβον οἱ θεοὶ καλοῦσιν τὸν πόλεμον. Ανωκίσαντο.] ἀντὶ τοῦ ἀπῳκίσαντο καὶ ἀνεχώρησαν, ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δεινὰ ἐρῆ Ανωτάτω.] ἀντὶ τοῦ ἀπάντων ἀνωτάτω ὅσον δυνατὸν ἦν. Τοῦδ᾽ εἵνεχ᾽ ἡμᾶς.] τίνος χάριν καθ᾽ ἡμῶν τοσαύτην ἔχον ὀργήν. Εκείνων πολλάκις.] τῶν θεῶν ἢ τῶν Λακεδαιμονίων. ὅτι πολλάκις Λακεδαιμόνιοι βουλόμενοι εἰρήνην ἦλθον καὶ οὐκ ἐδέξατο. Σπονδὰς ποιουμένων] τῶν θεῶν πρυτανευόντων ἡμῖν τὴν εἰρήνην ἀεί. Οἱ Λακωνικοί.] ὡς φιλοπολέμων ὄντων τῶν Λακωνικῶν καὶ τὴν εἰρήνην οὐ προσιεμένων πρώτων ἐμνήσθη.

Ναὶ τὼ σιώ, νῦν Αττικίων δώσει δίκην.
Εἰ δ᾽ αὖ τι πράξαιεν ἀγαθὸν Αττικωνικοί,
Κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
Ελέγετ᾽ ἂν ὑμεῖς εὐθὺς, ἐξαπατώμεθα.
Νὴ τὴν Αθηνᾶν, νὴ Δί᾽ οὐχὶ πειστέον.
D Ηξουσι καὖθις ἢν ἔχωμεν τὴν Πύλον.
Ο γοῦν χαρακτὴρ ὑμεδαπὸς τῶν ῥημάτων
Ων οὕνεκ᾽ οὐκ οἶδ᾽ εἴ ποτ᾽ εἰρήνην ἔτι
Τὸ λοιπὸν ὄψεσθ᾽. Τρυ. Αλλὰ ποῖ γὰρ οἴχεται;
Ερ. Ο πόλεμος αὐτὴν ἐνέβαλ᾽ εἰς ἄντρον βαθύ.
Τρ. Εἰς ποῖον. Ερ. Εἰς τουτὶ τὸ κάτω. κἄπειθ᾽ ὁρᾷς,
Οσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
E Ινα μὴ λάβητε μηδέποτ᾽ αὐτήν; Τρυ. Εἰπέ μοι.
Ημᾶς δὲ δὴ τί δρᾶν παρασκευάζεται;
Ερ. Οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑσπέρας
Υπερφυᾶ τὸ μέγεθος εἰσενήνοχε.
Τρ. Τί δῆτα ταύτῃ θυείᾳ χρήσεται;
Ερ. Τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
Αλλ᾽ εἶμι, καὶ γὰρ ἐξιέναι γνώμην ἐμήν
F Μέλλει. θορυβεῖ γοῦν ἔνδον. Τρ. Οἴμοι δείλαιος,
Φέρ᾽ αὐτὸν ἀποδρᾶ. καὶ γὰρ ὥσπερ ἠσθόμην
Καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.

*Nunc per gemellos Attici pœnas luent,*
*Aiebat: at si prospere esset Atticis,*
*Et venerit pro Pace legatus Laco*
*Circumuenimur, inquiebatis statim,*
*Ne per Mineruam, per Iouem credamus his,*
*Iterum redibunt si semel potimur Pylum:*
*Atque hæc loquendi forma vestra vt plurimum est.*
*Quoius petendam gratia pacem haud scio*
*An quibitis videre post illa. TR. quò abit?*
*MER. Hanc in remotos abdidit bellum specus.*
*TRY. In quos? MER. in istos inferos, dein vides*
*Obiecta saxa quæ super congesserit*
*Ne prendere ipsam sit facul vobis.* TRY. *age,*
*Memora quod in nos grande designat malum.*
*MER. Nescio, nisi quod vesperi mortarium*
*Ingens capaxque vastitatis intulit.*
*TRY. Quid hoc facere se postulat mortario?*
*MER. Græcas in illo pinsere vrbes cogitat.*
*Sed hinc facesso, opinor egressum parat;*
*Iam trepidat intus atque turbat. TRY. hei mihi,*
*Quin do in pedes me protinam? quippe audio*
*Egomet sonorem bellici mortarij.*

Σχόλια. Ναὶ τὼ σιώ.] οὕτω τοὺς Διοσκούρους οἱ Λακεδαιμόνιοι σιοὺς ἔλεγον. ὡς Αθηναῖοι θεοὺς Δήμητρα καὶ Περσεφόνην.

CHRIST. Ναὶ τὼ σιώ] Lacedæmoniorum Dij Dioscuri sunt, nam σιοὺς vocabant Deos, vnde Sibyllæ nomen: Dij verò Atheniensium Ceres, Persephone, Minerua. lego autem distinctè αὖ τι, & refero ad ἀγαθὸν, ne quis αὖθις legat.

G Σχόλια. Νῦν Αττικίων] εἰ Λακεδαιμόνιοι μικρὸν ἐν τῇ μάχῃ κρατήσουσιν, εὐθέως λέγουσι νὴ τοὺς θεοὺς, νῦν δώσουσιν οἱ Αθηναῖοι δίκας. εἰδ᾽ Αθηναῖοι νικήσουσιν, εὐθέως ἀντιφθέγξονται Λακεδαιμόνιοι. καὶ εἰ ἔλθωσι μετὰ τὴν ἧτταν εἰρήνην ζητοῦντες οἱ Λακεδαιμόνιοι, λέγουσιν Αθηναῖοι, ἐξαπατῆσαι ἡμᾶς βούλονται, ἵνα ποιησώμεθα εἰρήνην, ἐπειδὴ νικῶμεν. σκώπτει δὲ τὸ ὑπερήφανον τῶν Αθηναίων.

BISETVS. Αττικίων δὲ, ὑποκοριστικῶς εἴρηται, ὡς καὶ ἀπὸ τοῦ μαλακὸς μαλακίων. τοῦτο δ᾽ ἐξ οὐθενίσεως, καὶ καταφρονήσεως ἔνεκα.

Σχόλια. Αττικωνικοί.] οὕτως ἔλεγον εὐτελίζοντες καὶ ἐνυβρίζοντες τοὺς Αθηναίους. ἢ πρὸς τὸ Λακωνικὸν ἔπαιξεν.